Ακαδημία Αθηνών / Academy of Athens

*οὔτε σώμασιν οὔτε χρήμασιν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθοσύνῃ καὶ π ο λ υ φ ρ ο σ ύ ν ῃ.*

**πομφολυγώδης.** Φυσαλιδόμορφος, bubble-shaped, Δημόκριτος 5 (DK II 137,28) *π ο μ φ ο λ υ γ ώ δ ε ι ς ὑμένας.*

**πομφόλυξ.** Φυσαλίδα, bubble, Δημόκριτος 5 (DK II 136,42) *ὑμένες ἐοικότες π ο μ φ ό λ υ ξ ι ν.*

**πονεῖν.** Κοπιάζω/μοχθῶ, labour, Δημόκριτος 179 *μὴ π ο ν ε ῖ ν παῖδες ἀνιέντες οὔτε γράμματ' ἂν μάθοιεν οὔτε μουσικὴν οὔτε ἀγωνίην οὐδ' ὅπερ μάλιστα τὴν ἀρετὴν συνέχει, τὸ αἰδεῖσθαι* 243 *τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν π ο ν έ ο υ σ ι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες. ἐν δὲ ἑκάστῃ ἀποτυχίῃ τὸ π ο ν ε ῖ ν (?) ὁμοίως ἀνιηρὸν καὶ ταλαίπωρον.* Πρβλ. *πόνος.*

**πονηρεύεσθαι.** Εἶμαι κακὸς/συμπεριφέρομαι πονηρά, be wicked/behave cunningly, Ἡράκλειτος 125a *μὴ ἐπιλίποι ὑμᾶς πλοῦτος ... Ἐφέσιοι, ἵν' ἐξελέγχοισθε π ο ν η ρ ε υ ό μ ε ν ο ι.*

**πονηρός.** Πονηρός, wicked, Δημόκριτος 192 *ἔστι ῥᾴδιον μὲν ἐπαινεῖν ἃ μὴ χρὴ καὶ ψέγειν, ἑκάτερον δὲ π ο ν η ρ ο ῦ τινος ἤθους.* Πρβλ. *κακός, φαῦλος.*

**πόνος.** Κόπος/μόχθος, toil/hard work, Ξενοφάνης 25 *ἀλλ' ἀπάνευθε π ό ν ο ι ο νόου φρενὶ πάντα κραδαίνει* Δημόκριτος 157 *τήν τε πολιτικὴν τέχνην μεγίστην οὖσαν ἐκδιδάσκεσθαι καὶ τοὺς π ό ν ο υ ς διώκειν* 182 *τὰ μὲν καλὰ χρήματα τοῖς π ό ν ο ι ς ἡ μάθησις ἐξεργάζεται, τὰ δ' αἰσχρὰ ἄνευ π ό ν ω ν αὐτόματα καρποῦται* 240 *οἱ ἑκούσιοι π ό ν ο ι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι* 241 *π ό ν ο ς συνεχὴς ἐλαφρότερος ἑαυτοῦ συνηθείῃ γίνεται* 243 *τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες.*

**πόντος.** Θάλασσα, sea, Ξενοφάνης 30.3-5 *οὔτε γὰρ ἐν νέφεσιν ... ἄνευ π ό ν τ ο υ μεγάλοιο οὔτε ῥοαὶ ποταμῶν οὔτ' αἰ⟨θέρος⟩ ὄμβριον ὕδωρ, ἀλλὰ μέγας π ό ν τ ο ς γενέτωρ νεφέων ἀνέμων τε καὶ ποταμῶν* Ἐμπεδοκλῆς 38.3 *γαῖά τε καὶ π ό ν τ ο ς πολυκύμων ἠδ' ὑγρὸς ἀὴρ Τιτὰν ἠδ' αἰθὴρ σφίγγων περὶ κύκλον ἅπαντα* 115.9-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ